*ΑΓΓ.* Θρῄκης· πατρὸς δὲ Στρυμόνος κικλήσκεται.
ΕΚ. Ῥῆσον τιθέντ᾽ ἔλεξας ἐν Τροίᾳ πόδα.
*ΑΓΓ.* ἔγνως· λόγου δὲ δὶς τόσου μ᾽ ἐκούφισας.
ΕΚ. καὶ πῶς πρὸς Ἴδης ὀργάδας πορεύεται,
πλαγχθεὶς πλατείας πεδιάδος θ᾽ ἁμαξιτοῦ;
*ΑΓΓ.* οὐκ οἶδ᾽ ἀκριβῶς· εἰκάσαι γε μὴν πάρα.
νυκτὸς γὰρ οὔτι φαῦλον ἐμβαλεῖν στρατόν,
κλύοντα πλήρη πεδία πολεμίας χερός.
φόβον δ᾽ ἀγρώσταις, οἳ κατ᾽ Ἰδαῖον λέπας
οἰκοῦμεν αὐτόρριζον ἑστίαν χθονός,
παρέσχε δρυμὸν νυκτὸς ἔνθηρον μολών.
πολλῇ γὰρ ἠχῇ Θρῄκιος ῥέων στρατὸς
ἔστειχε· θάμβει δ᾽ ἐκπλαγέντες ἵεμεν
ποίμνας πρὸς ἄκρας, μή τις Ἀργείων μόλῃ
λεηλατήσων καὶ σὰ πορθήσων σταθμά,
πρὶν δὴ δι᾽ ὤτων γῆρυν οὐχ Ἑλληνικὴν
ἐδεξάμεσθα καὶ μετέστημεν φόβου.
στείχων δ᾽ ἄνακτος προυξερευνητὰς ὁδοῦ
ἀνιστόρησα Θρῃκίοις προσφθέγμασιν,
τίς ὁ στρατηγὸς καὶ τίνος κεκλημένος
στείχει πρὸς ἄστυ Πριαμίδαισι σύμμαχος.
καὶ πάντ᾽ ἀκούσας ὧν ἐφιέμην μαθεῖν,
ἔστην· ὁρῶ δὲ Ῥῆσον ὥστε δαίμονα
ἑστῶτ᾽ ἐν ἱππείοισι Θρῃκίοις ὄχοις.
χρυσῇ δὲ πλάστιγξ αὐχένα ζυγηφόρον
πώλων ἔκληε χιόνος ἐξαυγεστέρων.
πέλτης δ᾽ ἐπ᾽ ὤμων χρυσοκόλλητος τύπος
ἔλαμπε· Γοργὼν δ᾽ ὡς ἀπ᾽ αἰγίδος θεᾶς
χαλκῇ μετώποις ἱππικοῖσι πρόσδετος
πολλοῖσι σὺν κώδωσιν ἐκτύπει φόβον.
στρατοῦ δὲ πλῆθος οὐδ᾽ ἂν ἐν ψήφου λόγῳ

283. *πλατείαις ABC* *πεδιάδος ἁμαξίτοις A* 292. *ἐς ἄκρας ABC* 296. ὁδοῦ BC στρατοῦ ceteri. 302. *ἐν ἵπποις (-σι) Θρῃκίοις τ᾽ ὀχήμασιν ABC* 303. *ζυγηφόρων ABC* 305. *πέλτης δ᾽*] *πέλτης ἐπ᾽* BCb *πέλτη δ᾽ ABC* *χρυσοκόλλητος τύπος*] Nauckius, *χρυσοκολλήτοις δίφροις* BC *χρυσοκολλήτοις τύποις* ceteri. 306. *ἐπ᾽ AC*